αὐτῷ ἡμίσεως ὀβολοῦ ἄξιον, ἤτοι ἡμιωβολίῳ. Σ.

Σχόλια. Ληρεῖς ὦ γύναι.] ὡς δείκνυσ Ἡρακλῆς σκορόδων γευσάμενος. διὸ πρὸς αὐτὸν φησὶ ληρεῖς. Οὔ με νομίζω με προσεδόκας.] ὡς προσεδόκας με γυνὴ οὖσα. ἐπεὶ δὲ

A κόθορνον εἶχε. ὁ γὰρ κόθορνος τοῦ Διονύσου ἐστὶν, ὁ δὲ Ἡρακλέους. Τὸ τάριχος.] οὕτως ἔλεγον Ἀττικοί, ὡς ἑτέρως. ἐπιλαθομένη δέ φησιν εἰπεῖν τὸ τάριχος. Αὐτοῖς ταλάροις.] ἔτι οὖν φησὶν ἐν τοῖς μικροῖς καλαθίσκοις.

Ξανθ. Τοῦτο πάνυ τοὔργον. οὗτος ὁ τρόπος πανταχοῦ.

Πα. Καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν.

Νὴ Δία, τάλαινα. Πλα. νὼ δὲ δείσασαί γέ πω,

Ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν.

Ὁ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών.

Ξανθ. Καὶ τοῦτο τοὔργον. Πλα. ἀλλ' ἐχρῆν τι δρᾶν;

Πα. Ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.

Σὺ δ' ἔμοι γ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,

Ἵν' αὐτὸν ἐπιτρίψωμεν. Πλα. ὦ μιαρὰ φάρυγξ,

Ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους

Κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

Πα. Ἐγὼ δέ γ' εἰς τὸ βάραθρον ἐμβάλοιμί σε.

Πλα. Ἐγὼ δὲ τὸν λάρυγγ' ἄν ἐκτέμοιμί σου,

Δρέπανον λαβοῦσ', ᾧ τὰς κόλικας κατέσπασας.

Ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτὸν τήμερον

Ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.

ΧΑ. *Hoc hominis est studium, hi mores videlicet.*

ΡΑ. *Ah misera, etiam gladium stringebat, quasi furens,*

B *Per Iouem.* ΡL. *at ibi nos ambæ miseræ; & pauidæ metu*

*Sublimem scalam celeriter conscendimus,*

*Ipse autem abijt cum storeis, quas furtim abstulit.*

ΧΑ. *Et hic mos est hominis.* ΡL. *sed quid facto opus erat?*

C ΡΑ. *Age tu voca Cleonem huc, vrbis præsidem:*

*Tu verò Hyperbolum accersas, si qua incides,*

*Vt illum conteramus.* ΡL. *ô faucem improbam:*

*Vt gestio dentes tibi labefactare lapide:*

*Quibus tu deuorasti meum peculium.*

ΡΑ. *At ego te in barathrum præcipitem dare gestio.*

ΡL. *At ego guttur tibi falce excinderem lubens,*

*Quo panes deglutisti succinericeos.*

D *Sed eo ad Cleonem, vt is ex ipso euoluat hodie,*

*In ius vocato, quæ comedit, omnia.*

Σχόλια. Οὗτος ὁ τρόπος πανταχοῦ.] τὸ τρώγειν καὶ μὴ διδόναι φησὶ τὸν μισθόν. τοῦτο δὲ ὁ Ξανθίας ἑταίρων καὶ τοῦ Διονύσου τὰς γυναῖκας. Μαίνεσθαι δοκῶν.] καὶ παρ' Εὐριπίδῃ μαινόμενος ὡς Ἡρακλῆς. καὶ σπῶν τὸ ξίφος. πρὸς τοῦτο οὖν παίζει. Κατήλιφα.] τὴν μεσόδομον. ἢ τὴν κλίμακα. Τὰς ψιάθους.] τὰς καὶ τὰ στρώματα τοῦ πανδοκείου. ἐν δὲ τῷ Καλλιστράτου γέγραπται τοὺς ψιάθους. ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. τὸ δὲ, ἀλλ' ἐχρῆν τι δρᾶν δυνατὸν καὶ τὴν γυνὴ λέγειν ἀντὶ τοῦ τιμωρήσασθαι. Τὸν προστάτην Κλέωνα.] ὃν γὰρ ἀποθανὼν τότε. τὰ δὲ δράματα καθ' ἃ δὲ νῦν. Κλέωνα δὲ τὸν βυρσοδέψην, εἰς ὃν γέγραφε τοὺς Ἱππέας. Ὑπέρβολος δὲ εἰς ὃν καὶ Εὔπολις ἔγραψε τὸν Μαρικᾶν. ἀπώλετο δὲ περὶ

τὴν Σάμον, πολεμούντων αὐτοὺς τῶν Σαμίων. Ἐάνπερ ἐπιτύχῃς.] ὡς καὶ τοῦ Ὑπερβόλου τεθνηκότος, παρατηρητέον δὲ ὅτι σαφῶς ἐν τῷ θεάτρῳ διαλέγονται. Φορτία] ψωμούς. κρέα. τυροὺς καὶ τὰ ἄλλα. τινὲς δὲ ἤκουσαν τὰ κόπρια φορτικῶς. Κόλικας.] ἤ ἄρτους. ἢ τὰ ἔντερα. τὸ δὲ ᾧ, οὐ πρὸς τὸ δρέπα-

E νον, ἀλλὰ πρὸς τὸν λάρυγγα. κατέσπασας δὲ κατεβρόχθισας. Ἐκπηνιεῖται.] ἃ ἔφαγεν ἡμῶν, ἀφελκύσει. ἀπὸ τῶν τῶν κρόκην μηρυομένων εἰς πηνίον. ἄλλως. ἐξελκύσει ἀπὸ τοῦ πηνίου Ὅμηρος. πηνίον ἐξέλκουσα. ἢ ἐξάξει. ἀπὸ μεταφορᾶς τῶν καὶ μικρὸν ἐκ τοῦ σκώληκος ἐξαγομένων πηνῶν. τὸ δὲ διὰ τῆς οι διφθόγγου γράφεται, μετὰ τιμωρίας ἀπαιτήσει. Προσκαλούμενος.] ἐγκαλῶν. εἰς δίκας ἥκειν ἕλκων. κατηγορῶν αὐτοῦ.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ,

Σκηνὴ πέμπτη.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΧΟΡΟΣ.

Τρίμετροι.

Δι. Κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.

Σχόλια. Κάκιστ' ἀπολοίμην.] ἐντεῦθεν φοβούμενος ὁ Διόνυσος, ὑποκρίνεται φιλίαν πρὸς Ξανθίαν ἵνα πάλιν

ACTVS II. SCENA quinta.

BACCHVS, XANTHIAS, CHORVS.

*Senarij.*

G

ΒΑ. *Perij nisi tractem amice seruum Xanthiam.*

Ἡρακλῆς γένηται καὶ αὐτὸς Ξανθίας κελευσθεὶς ὑπὸ Διονύσου.